τί δ' ἂν δοκεῖ σοι Πρίαμος εἰ τάδ' ἤνυσεν; 935

894. βόημα Flor. Farn.

897. γὰρ pro δὴ Etymol. M. p. 486.

900. ποδοψήστρων δ' ἰμὴ τῶν Schütz., sed τὰ ποικίλα absolute est dictum de variegatis tapetibus, ut mox v. 910. cf. Theocrit. xv. 78. Aristophan. Plut. 1199. Phot. s. v. ποικίλον, quos laudat Blomf.

904. In εἰ ἄν offendit Blomf., qui ex Farn. recepit ἄνευ θάρσους; sed ita supra v. 336. θεοῖς δ' ἂν ἀμπλάκητος εἰ μόλοι στράτος. Eur. Androm. 771. εἴ τι γὰρ ἂν πάσχοι τις ἀμήχανον, ἀλκὰς οὐ σπάνις εὐγενίσταις. Phœn. 736. εἰ νυκτὸς αὐτοῖς προςβάλοιμ' ἂν ἐκ λόχου conf. Herm. ad Viger. p. 830. Sensus igitur erit: *si omnia sic perficere possim, bono animo ero.* In quo non video, quomodo nimiam parumque decoram Agamemnonis fiduciam invenire potuerit Reisig. *de vi et usu ἂν particulæ*, p. 107., qui propterea legi jubet: *εἰ πάντα δ' ὡς πράσσοιμ' ἂν εὐθαρσὴς ἐγὼ*, duriore optativi εἴην ellipsi admissa.

906. διαφθεροῦσ' ἰμοὶ conjecit Porson. Advers. p. 138. edit. Lips., probante Blomfield., sed γνώμην διαφθείρειν est *sententiam in pejus mutare*, ut Eur. Med. 1051. χεῖρα δ' οὐ διαφθεῶ. Hecub. 602. φύσιν διέφθειρε. Hippol. 389. ταῦτ' οὖν ἐπειδὴ συγχάνω φρονοῦσ' ἐγὼ, οὐκ ἴσθ' ὁποίῳ φαρμάκῳ διαφθερεῖν ἔμελλον.

907. εὔξω Blomf.—Idem in ηὔξω ἂν offendens, interrogationem sustulit, ut sit: *Vovisses hæc ita facere, si aliquid metuisses*, inepte. Ἂν non ad εὔξω, sed ad infinitivum ἔρδειν trahendum est.

909. δοκῇ hoc et sequente versu Vict.

Digitized by Google

ΑΓΑΜΕΜΝΩΝ.

910 ἐν ποικίλοις ἂν κάρτα μοι βῆναι δοκεῖ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

μή νυν τὸν ἀνθρώπειον αἰδεσθεὶς ψόγον - - - -

ΑΓΑΜΕΜΝΩΝ.

φήμη γε μέντοι δημόθρους μέγα σθένει.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὁ δ' ἀφθόνητός γ' οὐκ ἐπίζηλος πέλει.

ΑΓΑΜΕΜΝΩΝ.

οὔτοι γυναικός ἐστιν ἱμείρειν μάχης. 940

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

915 τοῖς δ' ὀλβίοις γε καὶ τὸ νικᾶσθαι πρέπει.

ΑΓΑΜΕΜΝΩΝ.

ἦ καὶ σὺ νίκην τήνδε δήριος τίεις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πιθοῦ· κράτος μέντοι πάρες γ' ἑκὼν ἐμοί.

ΑΓΑΜΕΜΝΩΝ.

ἀλλ' εἰ δοκεῖ σοι ταῦθ', ὑπαί τις ἀρβύλας
λύοι τάχος πρόδουλον ἔμβασιν ποδός, 945
920 σὺν ταῖσδέ μ' ἐμβαίνονθ' ἁλουργέσιν, θεῶν

Cant., quod correxerunt Schütz. Glasg. Blomf. Corruptum est a librariis, qui putabant ἂν δοκῇ jungendum esse, neque intelligebant, ἂν hoc versu ad omissum ποιῆσαι, sequente ad βῆναι pertinere; sæpe in hac re peccarunt librarii, ut Plat. Alcib. i. p. 105. A. 126. B. Alcib. ii. p. 138. C. ubi vid. Buttmann. cf. Bökh. ad Plat. Minoem. p. 142. Schæfer. melet. crit. p. 60.

911. αἰδεσθῆς Farn. αἰδεσθῇς Casaubon. Pears. Pauw. Blomfield., sed oratio est interrupta.

913. Interrogationis notam in fine versus habet Vict.

916. τῆσδε Stanlei. Both.—δήριος pro adjectivo habent Pauw. et Humboldt. δήριος Bothius. τήνδ' ἀδήριτος Buttl. Omnino nemo hunc versum satis apte explicavit, præcipue collocationem vocabulorum καὶ σὺ et voc. τήνδε omnes neglexerunt; nam quod Blomf. dicit: *tune adeo victoriæ appetens es, ut vel hujusmodi victoriam contentionis plurimi facias*, id verbis non inest. Nisi quid vitii latet, non alius sensus esse potest, nisi hic: *num tu quoque ejusmodi victoriam amas?* i. e. ut vinci te patiaris, nam τήνδε ad nihil referri potest, nisi ad τὸ νικᾶσθαι. Genitivus δήριος, nisi quis Ionicam formam improbat, nihil offensionis habet, v. Lobeck. ad Soph. Aj. 1152.

917. μέν τοι Blomfield. sine causa.

919. πρόδουλος ex emendatione a Stanleio commemorata Blomf., male; poetice ἀρβύλαι vocantur πρόδουλος ἔμβασις ποδός.—Punctum, quod in fine versus vulgo ponitur, recte sustulerunt Humboldt. et Blomf.

920. ξὺν Glasg. καὶ Flor.—τοῖς δὲ vulgat. ταῖσδε Heath. Schütz. Blomf.

Digitized by Google

μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος.
πολλὴ γὰρ αἰδὼς σωματοφθορεῖν ποσὶν
φθείροντα πλοῦτον ἀργυρωνήτους θ' ὑφάς.
τούτων μὲν οὕτως· τὴν ξένην δὲ πρευμενῶς 950
925 τήνδ' ἐςκόμιζε· τὸν κρατοῦντα μαλθακῶς,
θεὸς πρόσωθεν εὐμενῶς προςδέρκεται.
ἑκὼν γὰρ οὐδεὶς δουλίῳ χρῆται ζυγῷ.
αὐτὴ δὲ πολλῶν χρημάτων ἐξαίρετον
ἄνθος, στρατοῦ δώρημ', ἐμοὶ ξυνέστετο. 955
930 ἐπεὶ δ' ἀκούειν σοῦ κατέστραμμαι τάδε,
εἶμ' ἐς δόμων μέλαθρα, πορφύρας πατῶν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔστιν θάλασσα,—τίς δέ νιν κατασβέσει;—
τρέφουσα πολλῆς πορφύρας ἰσάργυρον
πηκῖδα παγκαίνιστον, εἱμάτων βαφάς. 960
935 οἶκος δ' ὑπάρχει τῶνδε σὺν θεοῖς, ἄναξ,
ἔχειν· πένεσθαι δ' οὐκ ἐπίσταται δόμος.
πολλῶν πατησμὸν δ' εἱμάτων ἂν εὐξάμην,
δόμοισι προὐνεχθέντος ἐν χρηστηρίοις,

921. βάλῃ Blomf., quod a nemine repositum esse miratur; sed nullam video mutandi causam, nam quamquam Eur. El. 900. legitur μή μί τις βάλῃ φθόνῳ, non ideo nostro loco idem est reponendum; ibi enim alius est sententiarum nexus.—De hac dictione φθόνος με βάλλει cf. Markl. ad Eurip. Iph. T. 1200.

922. σωματοφθορεῖν ita explicare conatur Voss. cur. Æschyl. p. 24., ut σῶμα de tota familia accipiendum dicat, quod vix probandum est. στρωματοφθορεῖν Casaubon. Stanlei. Glasg. 2. Buttler. δωματοφθορεῖν Schütz. Humboldt. Blomf. Vulgata vix sana, correctio autem incerta est, Schützio tamen magis assentior.—τόσιν Vict. Canter.

924. τοῦτ' οὖν, vel καῦτ' οὖν scribendum putat Schütz., et fatendum est, genitivum τούτων, quem Pauw. omisso περί explicat, habere aliquid offensionis. —οὕτω Flor. Farn. Glasg.

928. αὕτη Both. Blomf., quod non displicet.

930. καθίσταμαι var. lect. ap. Schol. κατίσταμαι Farn.

931. δόμους Flor.

933. εἰς ἄργυρον vulg. ἰσάργυρον egregia est emendatio Salmasii Exerc. Plin. p. 418. E., recepta a Glasg. Schütz. Blomf.

935. Vulgo post ἄναξ punctum ponitur, quod post ἔχειν recte collocarunt Glasg. Blomf., sed iidem οἴκοις dederunt, Blomfield. etiam οἴκῳ — τῷδε malit, sed nulla mutatione opus est, si ad ἔχειν, ut sæpe, ὥστε suppletur.

937. διμάτων vulg., quod correxit Canterus.

939. μηχανωμένης vulg., corruptum

Digitized by Google

ψυχῆς κομίστρα τῆςδε μηχανωμένη. 965
940 ῥίζης γὰρ οὔσης, φυλλὰς ἵκετ' ἐς δόμους,
σκιὰν ὑπερτείνασα σειρίου κυνός.
καὶ σοῦ μολόντος δωματῖτιν ἑστίαν,
θάλπος μὲν ἐν χειμῶνι σημαίνεις μολών·
ὅταν δὲ τεύχῃ Ζεύς γ' ἀπ' ὄμφακος πικρᾶς 970
945 οἶνον, τότ' ἤδη ψῦχος ἐν δόμοις πέλει,
ἀνδρὸς τελείου δῶμ' ἐπιστρωφωμένου.
Ζεῦ, Ζεῦ τέλειε, τὰς ἐμὰς εὐχὰς τέλει·
μέλοι δέ τοι σοὶ τῶνπερ ἂν μέλλῃς τελεῖν.

ΧΟΡΟΣ.

τίπτε μοι τόδ' ἐμπέδως στρ. ά. 975
950 δεῖγμα προστατήριον
καρδίας τερασκόπου ποτᾶται,
μαντιπολεῖ δ' ἀπέλευστος ἄμισθος ἀοιδά·
οὐδ', ἀποπτύσας δίκαν
δυςκρίτων ὀνειράτων, 980
955 θάρσος εὐπιθὲς ἵζει

propter vicina ψυχῆς τῆςδε; correxit Stanl., quem sequuntur Glasg. Schütz. Blomfield.

940. εἰς Blomfield.

941. ὑπερτείνασα Flor. ὑπερτείνουσα Casaub. Stanl. Blomf. male, quum præcesserit aoristus ἵκετο.

943. δόμοις pro μολόν Schütz. μολόν Blomf. διερμαίνει μολόν Voss. cur. Æsch. p. 25. Sed nihil mutandum, sensus enim est: *quum tu domum redis, rediens* (i. e. *ipso tuo reditu*) *æstivum fervorem adfers.* Qui sensus quum exprimendus et μολόν repetendum esset, non poterant non poni genitivi, quamquam ad subjectum referuntur. Igitur hoc non eget quidem h. l. negligentiæ excusatione, quæ in aliis locis observari potest, quos collegit Matthiæ Gr. gr. p. 818. Walch. emend. Liv. p. 74. Poppo Prolegg. in Thucyd. i. p. 119.

944. Ζεύς σ' Farn. Vict., sed σ' deleverunt Pauw. Heath. Glasg. 1. Schütz. Blomf. Ζεύς γ' Glasg. 2., idque recepi, intelligi enim non potest, quomodo illud σ' irrepserit.

946. ἐπιστρεφωμένου Flor. ἐπιστροφωμένου Farn.

948. μέλῃ Flor.—δί τί σοι vulg. δίσοι Flor. δί σοί τι Pauw. Schütz. δί τοι σοὶ Farn. Glasg. Blomf., quod verum puto.

950. δῆγμα conjecit Stephanus. δεῖμα Casaub. Stanl., quod receperunt Schütz. Humboldt. Blomf., sed vulgatum δεῖγμα recte tuentur Pauw. et Voss. cur. Æschyl. p. 27. Significat *ostentum illud, quod semper oculis obversatur*, et cum hoc bene convenit καρδία τερασκόπος, *animus, qui ex ostento illo mala auguratur.*

953. ἀποπτύσαν Casaub. Pauw. Glasg. Blomf., sed ἀποπτύσας est nominativus absolutus, quem jam sæpe observavimus, pro ἀποπτύσαντος ἐμοῦ.

955. ἵξει vulg. ἥξει Schütz. ἵζει Casaub. Abresch. Glasg. Blomf., quod probo.

φρενὸς φίλον θρόνον; χρόνος δ' ἐπεὶ
πρυμνησίων ξυνεμβόλοις
ψαμμίας ἀκάτας παρή-
βησεν, εὖθ' ὑπ' Ἴλιον 985
960 ὦρτο ναυβάτας στρατός.
πεύθομαι δ' ἀπ' ὀμμάτων ἀντ. ἀ.
νόστον, αὐτόμαρτυς ὤν.
τὸν δ' ἄνευ λύρας ὅμως ὑμνῳδεῖ
θρῆνον Ἐριννύος αὐτοδίδακτος ἔσωθεν 990
965 θυμὸς, οὐ τὸ πᾶν ἔχων
ἐλπίδος φίλον θράσος.
σπλάγχνα δ' οὔτι ματάζει
πρὸς ἐνδίποις φρεσὶν τελεσφόροις
δίναις κυκλούμενον κέαρ. 995
970 εὔχομαι δ' ἀπ' ἐμᾶς τι

956. ἐπὶ Farn., quod ex conjectura reponi voluerunt Stanl. et Herm. ad Humboldt., qui præterea ξυνεμβολαῖς et παρήβασιν scribendum censet, et verbum hoc activo sensu accipere videtur. Reliquis non mutatis pro παρήβησιν Pauw. πάρβησιν scripsit, Schütz. et Both. ex Heathii conjectura πάρηψιν. Sed plura h. l. corrupta, nam ξυνεμβόλοις nihil est, quare Schneiderus in Lex. ξυνεμβολαῖς scribi jussit, quod recepit Both., qui præterea ψαμμίαις dedit; ξὺν ἐμβολαῖς conjecit Casaubon. ξὺν ἐμβόλοις Stanl. Abresch. Pauw. Deinde ἀκάτας, cujus loco Flor. ἀκάτα habet, non alibi exstat, et quamquam cum Both. et Blomf. in ἀκάτους mutaveris, non video, quid sint ψαμμίαι ἄκατοι. Adjectivum ψαμμίας videtur ἀκτὰς poscere, idque suspicatus est Tyrwhitt. Totum locum ita legendum putat Blomf.: χρόνος δ' ἐπὶ πρυμνησίων ξυνεμβολαὶ ψαμμίαις ἀκταῖς παρήβησαν. Mihi quidem, si quid conjectura assequi licet in loco corrupto, de quo eo difficilius est judicium, quod et antistrophicus v. 970. corruptus est, minore mutatione ita legi posse videtur: χρόνος δ', ἐπὶ πρυμνησίων ξὺν ἐμβολαῖς ψαμμίας ἀκτὰς παρήβησεν, diu est, ex quo simul cum funibus littori arenoso inhærentibus consenuit exercitus, ut ab ἐμβολαῖς duplex genitivus pendeat.

961. ἀπ' ὀμμάτων meis oculis, ut Soph. Œd. Col. 15. Eur. Med. 211.

963. τόνδ' vulgo. τὸν δ' Schütz. Glasg. Blomf.—ὅπως Farn. Vict. Cant. ὅμως ex vera Stanleii emendatione recentiores.

964. Ἐριννὺς Vict. Cant. Ἐριννύος, quod metrum et sensus postulat, Glasg. Schütz. Blomf.

967. οὔτι vulg. οὔτι metro exigente Casaubon. Abresch. Schütz. Glasg. Blomf.

968. ἐνδίποις δὲ φρεσὶν scribi vult Schütz., ne copula absit, sed κέαρ κυκλούμενον sunt nominativi absoluti pro genitivis.

970. Vulgatam, quam exhibui, corruptam esse, perspicuum est. τι in τοὶ mutari vult Pears., in τοῦ' Pauw. Heath. Schütz., in τάδ' Stanl. Pors. Advers. p. 138. ed. Lips. In Flor. legitur εὔχομαι δ' ἐξ ἐμᾶς ἐλπίδος, unde Blomf. dedit εὔχομαι τάδ' ἐξ ἐμᾶς ἐλπίδος, sed certi aliquid eo minus constitui potest, quum et strophicus corruptus sit.

Digitized by Google

ἐλπίδος ψύθη πεσεῖν,
ἐς τὸ μὴ τελεσφόρον.
μάλα γάρ τοι τᾶς στρ. β'.
πολλᾶς ὑγιείας
975 ἀπόρεστον τέρμα. νόσος γὰρ * *
γείτων ὁμότοιχος ἐρείδει,
καὶ πότμος εὐθυπορῶν
ἀνδρὸς ἔπαισεν * * *
* * * ἄφαντον ἕρμα. 1000
980 καὶ τὸ μὲν πρὸ χρημάτων
κτησίων ὄπνος βαλὼν,
σφενδόνας ἀπ' εὐμέτρου,
οὐκ ἔδυ πρόπας δόμος
πημονᾶς γέμων ἄγαν, 1010
985 οὐδ' ἐπόντισε σκάφος.
πολλά τοι δόσις ἐκ Διὸς ἀμφιλαφής τε καὶ
ἐξ ἁλόπων ἐπετειᾶν
νῆστιν ὤλεσεν νόσον. 1015

971. ψυθη Vict. ψιυδῆ Pauw. ψύθη Steph., quod recte receperunt Glasg. Schütz. Blomf.

973. Strophæ initium in vulgata lectione, quam exhibuimus, corruptum est. μάλα γί τοι δὴ τᾶς Farn. τοι in τὸ mutarunt Schütz. Buttler. Blomf., sed neque sic versus antistrophico respondet, quem propterea violentius mutare coacti sunt. μάλα γὰρ οὖν τὰ πολλὰ τᾶς ὑγιείας suspicatur Lachmann. de chor. syst. p. 60., sed facilius foret μάλα γί τοι τὸ τᾶς, ut γὰρ ex γι natum, τὸ a præcedente τοι absorptum sit.

974. ὑγιείας penultimam corripere recte observat Lachm.

975. ἀχάριστον legendum putat Schütz., quod receperunt Both. et Humboldt., sed damnari vulgata non potest, quum sensus propter incertam versus præcedentis lectionem non perspicuus sit.—Deesse aliquid in fine versus, docet antistrophici metrum: νόσος μογερὰ conjecit Lachm., νόσος γὰρ ἀεὶ Blomf., qui ita etiam metro succurri posse dicit, ut omittatur πάλιν v. 992., quod abest in Farn. Res incerta est.

978. Lacunam hic esse, docent antistrophici. Schützius, qui in antistropha verba ἐπ' εὐλαβείᾳ omisit, ante ἀνδρὸς unum vocabulum, fortasse πολλάκις, excidisse putat, et ἔπεισ' scripsit.

980. καὶ πρὸ μὲν τῶν χρημάτων κτησίων ὄγκον βαλών emendavit Schütz., quod probant Buttler. et Humboldt., neque displicet, nam etiamsi cum Casaubon. et Blomf. ὄπνος βαλών pro genitivis absolutis ὄπνου βαλόντος positum accipitur, tamen quomodo illud τὸ μὲν πρὸ χρημάτων explicandum sit, non video.

983. γόμος suspicatur Blomf. male.

985. οὐ δ' Glasg. male.

987. πάξ ἁλόπων Flor.

Digitized by Google

τὸ δ' ἐπὶ γᾶν πεσόνθ' ἀντ. β'.
990 ἅπαξ θανάσιμον
προπάροιθ' ἀνδρὸς μέλαν αἷμα τίς ἂν
πάλιν ἀγκαλέσαιτ' ἐπαείδων;
οὐδὲ τὸν ὀρθοδαῆ 1020
τῶν φθιμένων ἀνάγειν
995 Ζεὺς ἂν αὖτ' ἔπαυσεν ἐπ' ἀβλαβείᾳ.
εἰ δὲ μὴ τεταγμένα
μοῖρα μοῖραν ἐκ θεῶν
εἶργε μὴ πλέον φέρειν, 1025
προφθάσασα καρδία
1000 γλῶσσαν ἂν τάδ' ἐξέχει.
νῦν δ' ὑπὸ σκότῳ βρέμει
θυμαλγής τε, καὶ οὐδὲν ἐπελπομένα ποτὲ 1030
καίριον ἐκπολυπεύσειν,
ζωπυρουμένας φρενός.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

1005 εἴσω κομίζου καὶ σύ· Κασάνδραν λέγω·

989. πεσόνθ' sensu caret, quare πεσόν γ' ἅπαξ Casaub. Pears. πεσὸν ἅπαξ Pauw. Blomfield., quod nescio quomodo strophico respondere velit. Schütz. propter strophicum a se mutatum violenta transpositione ita dedit: τὸ πεσὸν δ' ἅπαξ ἐπὶ γᾶν προπάροιθ' ἀνδρὸς θανάσιμον, nec tamen responsionem video. Mihi quidem certissimum videtur vocabula πεσόνθ' ἅπαξ ita transponenda esse:

τὸ δ' ἐπὶ γᾶν ἅπαξ
πεσὸν θανάσιμον

hinc illud ὁ, quod ex sequente vocabulo male adhæsit voci πεσόν.

991. τίς τ' ἀγκαλέσαιτ' omisso πάλιν Farn.

993. οὐ δὲ τὸν ὀρθοδαῆ τοὺς φθιμένους ἀνάγειν Ζεὺς αὖτ' ἔπαυσεν; Schütz. omisit enim verba ἐπ' εὐλαβείᾳ γε, quæ vulg. post ἔπαυσεν leguntur, cum Cantero et Casaubono, eadem uncis includit Glasg. Sed ex Scholiastæ verbis: τὸν Ἀσκλήπιον γὰρ ἐκεραύνωσεν ἀναστήσαντα τὸν Ἱππόλυτον, ὅτι μὴ βλαβῆναι, intellexit Herm. ad Humboldt. scribendum esse Ζεὺς ἂν αὖτ' ἔπαυσεν ἐπ' ἀβλαβείᾳ, quod cum Blomf. recepi, succurrunt enim et codd., nam Flor. omittit γε, in Farn. autem legitur ἐπ' ἀβλαβείᾳ γε. Illud ἂν autem, quod sensu postulante post Ζεὺς insertum est, facile propter sequens αὖτε excidere potuit. Sensus hic est: *neque*, si Dii vellent mortuos reviviscere, *Jupiter eum, qui rem bene perspectam habet* (Æsculapium), *prohibuisset, quominus mortuorum aliquem ad integritatem reduceret.* Ad τῶν φθιμένων enim τινὰ supplendum est, de qua ellipsi v. Erfurdt. ad Soph. Ant. 1036. ed. min. Neque opus est cum Blomf. verba ἐπ' ἀβλαβείᾳ post ἀνάγειν collocare.

1002. Verba θυμαλγής τε καὶ οὐδὲν omittit Farn.

1005. ἀμηνίτους ex Aurati emenda-

ἐπεί σ' ἔθηκε Ζεὺς ἀμηνίτως δόμοις
κοινωνὸν εἶναι χερνίβων, πολλῶν μέτα 1035
δούλων, σταθεῖσαν κτησίου βωμοῦ πέλας.
ἔκβαιν' ἀπήνης τῆςδε· μηδ' ὑπερφρόνει.
1010 καὶ παῖδα γάρ τοι φασὶν Ἀλκμήνης ποτὲ
πραθέντα τλῆναι, καὶ ζυγῶν θιγεῖν βίᾳ.
εἰ δ' οὖν ἀνάγκη τῆςδ' ἐπιῤῥέποι τύχης, 1040
ἀρχαιοπλούτων δεσποτῶν πολλὴ χάρις.
οἱ δ' οὔποτ' ἐλπίσαντες ἤμησαν καλῶς,
1015 ὠμοί τε δούλοις πάντα, καὶ παρὰ στάθμην,
ἔχεις παρ' ἡμῶν οἷάπερ νομίζεται.

ΧΟΡΟΣ.

σοί τοι λέγουσα παύεται σαφῆ λόγον. 1045
ἐντὸς δ' ἂν οὖσα μορσίμων ἀγρευμάτων,
πείθοι' ἂν εἰ πείθοι· ἀπειθοίης δ' ἴσως.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

1020 ἀλλ' εἴπερ ἐστὶ μὴ, χελιδόνος δίκην,
ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη,
ἔσω φρενῶν λέγουσα πείθω νιν λόγῳ. 1050

ΧΟΡΟΣ.

ἔπου. τὰ λῷστα τῶν παρεστώτων λέγει.

tione Schütz. sine causa, sed adverbium neque significat *cum benevolentia erga nos*, quod voluit Wunderl. obss. critt. p. 152., neque *absque nostra ira, absque dominorum sævitia*, quod putavit Buttler., sed *sine ira erga te*, quod sc. ἀρχαιοπλούτων ædibus te tradidit.

1011. Post πραθέντα vulgo commate interpungitur, quod recte sustulerunt Schütz. Glasg. Blomf. τλῆναι cum participio jungendum est, cujus constructionis exempla habet Wunderl. obss. critt. p. 152. sq.—θίγειν vulg., quod in θιγεῖν recte mutarunt Glasg. Blomf.—τλῆναι δουλείας μάζης βίου habet Flor.

1014. οἱ vulg., quod ex Stanleii voluntate correxerunt Schütz. Blomf.

1016. ἥκεις volunt Casaubon. Stanl. Pauw. Buttler., sed præsens præstat.

1019. πείθοι' ἂν εἰ πείθοιο, ut infra v. 1365. χαίροιτ' ἂν εἰ χαίροιτ', ἰγὼ δ' ἀστύχοιμι. Ad ἀπειθοίης autem non opus est ἂν ex præcedentibus repeti, quod vult Blomf., quum ἴσως vicem ejus sustineat, ut Suppl. 707. ἴσως γὰρ ἥ κόρυξ τις ἢ πρίσβυς μόλοι. Eurip. Iph. T. 1025. τὰ δ' ἀλλ' ἴσως ἅπαντα συμβαίη καλῶς.

1021. Schütz. legendum putat βάρβαρον φρενῶν ἔσω κεκτημένη, λέγουσα πείθω νιν λόγῳ. Buttlerus post λέγουσα comma poni vult, ut ad Cassandram referatur. Sed ἔσω φρενῶν λέγουσα est *ita loquens, ut intelligat*.

1022. εἴσω Blomf.—πείθῃς legi jubet Elmsl. in *Edinburgh Review*, 1811. N. xxxvii. p. 81. male.

Digitized by Google

πείθου, λιποῦσα τόνδ' ἀμαξήρη θρόνον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

1025 οὔτοι θυραίαν τήνδ' ἐμοὶ σχολὴ πάρα
τρίβειν· τὰ μὲν γὰρ ἑστίας μεσομφάλου
ἕστηκεν ἤδη μῆλα πρὸς σφαγὰς πυρός, 1055
ὡς οὔποτ' ἐλπίσασι τήνδ' ἕξειν χάριν.
σὺ δ' εἴτι δράσεις τῶνδε, μὴ σχολὴν τίθει.
1030 εἰ δ' ἀξυνήμων οὖσα μὴ δέχει λόγον,
σὺ δ' ἀντὶ φωνῆς φράζε καρβάνῳ χερί.

ΧΟΡΟΣ.

ἑρμηνέως ἔοικεν ἡ ξένη τορεῖν 1060
δεῖσθαι· τρόπος δὲ θηρὸς ὡς νεαιρέτου.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἦ μαίνεταί γε καὶ κακῶν κλύει φρενῶν,
1035 ἥτις λιποῦσα μὲν πόλιν νεαίρετον
ἥκει· χαλινὸν δ' οὐκ ἐπίσταται φέρειν,
πρὶν αἱματηρὸν ἐξαφρίζεσθαι μένος. 1065
οὐ μὴν πλέω ῥίψασ' ἀτιμωθήσομαι.

ΧΟΡΟΣ.

ἐγὼ δ', ἐποικτείρω γάρ, οὐ θυμώσομαι.
1040 ἴθ, ὦ τάλαινα, τόνδ' ἐρημώσασ' ὄχον,
εἴκουσ' ἀνάγκῃ τῇδε καίνισον ζυγόν.

ΚΑΣΑΝΔΡΑ.

ὀτοτοτοτοῖ ποποῖ δᾶ. στρ. ά. 1070

1024. *πεθοῦ* Blomf. ut solet.

1025. *θυραῖαν* Vict. Glasg. Schütz. perperam, nisi forte *θυραῖον* legendum est, ut Soph. El. 305. Eur. Alc. 821. Omnino autem *θυραίαν* cum *τήνδε* jungendum, et ad Cassandram referendum est, non ad Clytæmnestram, quod putat Blomf.

1037. Hoc versu desinit lacuna in Med. Guelph. Ald. Rob. Turn.—*ἐξ ἀφρίζεσθαι* Ald.

1038. *ῥίψας* Turn.—*ἀτιμασθήσομαι* Farn. Vict. Stanl. Schütz. *ἀτιμιστρή-σομαι* Rob. *ἀτιμωθήσομαι* Guelph. Aldin. Turn., quod cum Glasgov. et Blomf. prætuli.

1039. *ἐπιπτείρω* Guelph. Ald.

1040. *ἴσθ'* Vict. Cant. Stanl., sed *ἴθ'* Med. Guelph. Ald. Rob. Turn. et recentiores.—*ἐρημώσας* Ald.

1041. *ἴκουσ'* Ald. Turn. Vict. *εἴκουσ'* Rob. ex Sophiani emendatione et sic recentiores recte.—*ἀνάγκῃ τῇδε* Ald. *ἀνάγκῃ, τῇ δὲ* Turn.—*καὶν ἴσον* Guelph. *καὶ νίσον* Ald.

1042. et 1046. *ὀτοτοτοῦ* Flor. *ὀτοτοτοῖ*

Digitized by Google

ὦ 'πολλον, ὦ 'πολλον.

ΧΟΡΟΣ.

τί ταῦτ' ἀνωτότυξας ἀμφὶ Λοξίου;
1045 οὐ γὰρ τοιοῦτος, ὥςτε θρηνητοῦ τυχεῖν.

ΚΑΣΑΝΔΡΑ.

ὀτοτοτοτοῖ ποποῖ δᾶ. ἀντιστρ. ά.
ὦ 'πολλον, ὦ 'πολλον. 1075

ΧΟΡΟΣ.

ἡ δ' αὖτε δυςφημοῦσα τὸν θεὸν καλεῖ
οὐδὲν προςήκοντ' ἐν γόοις παραστατεῖν.

ΚΑΣΑΝΔΡΑ.

1050 Ἄπολλον, Ἄπολλον,
ἀγυιᾶτ' ἀπόλλων ἐμός.
ἀπώλεσας γὰρ οὐ μόλις τὸ δεύτερον. 1080

ΧΟΡΟΣ.

χρήσειν ἔοικεν ἀμφὶ τῶν αὑτῆς κακῶν.
μένει τὸ θεῖον δουλίᾳ περ ἐν φρενί.

ΚΑΣΑΝΔΡΑ.

1055 Ἄπολλον, Ἄπολλον, ἀντ. β'.
ἀγυιᾶτ' ἀπόλλων ἐμός.

Farn. et sic Blomf.—πομποῖ δᾶ Flor. Farn.—ὀτοτοῖ, ὀτοτοῖ vult Blomfield. sine causa. Idem πόπου dedit, sed ποποῖ non est Deorum invocatio, sed interjectio dolorem exprimens.

1043. et 1047. Ἄπολλον, Ἄπολλον Farn. Vict. Stanl. Glasg. Schütz., sed ὄπολλον ὄπολλον Guelph. Ald. Rob. Turn. ὦ 'πολλον ὦ 'πολλον Med., quod recepi. ὦ 'πολλον ὦ 'πολλον Blomf.

1044. ἀνωλόλυξας legendum suspicatur Steph., et sic legitur apud Schol. ad Eurip. Phœn. 1026., sed ἀνωτότυξας refertur ad Cassandræ exclamationem ὀτοτοτοῖ.

1049. προσήκοντ' ἰυγγόους Ald.

1051. ἀγυιᾶν τ' Turn. Vict. Stanl. Glasg. Schütz., sed quid illud τι sibi velit, nemo dixerit. ἀγυιᾶ τ' Med. ἀγυιάτ' Flor. ἀγυιάτ' Farn. ἀγυιά τ' Aldin. ἀγυιᾶτα Rob., unde recte ἀγυιᾶτ' Herm. El. metr. p. 265. et Blomf. Ἀπόλλων ἀγυιάτης commemoratur a Steph. Byz. s. v. Ἀγυιά.

1052. ἀπώλεσας Ald.—Similem in vocabulis Ἀπόλλων et ἀπολλύναι lusum habet Euripides Phætonte laudatus ab Elmsl. ad Eur. Bacch. 508.—De οὐ μόλις v. Herm. ad Vig. p. 788.

1053. χρέειν Guelph. Aldin. κλάειν Turn.—αὐτῆς Aldin. Rob.

1054. παρ' ἴν Med. Aldin. Turn. παρὶν Vict. παρὸν Farn. Rob., sic conjecit Stanl. et dederunt Pauw. Glasg. Sed recte Schütz. emendasse videtur περ ἴν, quod recepit Blomf.

1056. ἀγυιᾶν τ' vulg. ἀγυιά τ' Med. Ald. ἀγυιᾶ τ' Rob. ex emendatione Sophiani, in cod. enim invenit ἀγυιάτ'. Vid. ad v. 1051.

Digitized by Google

ἆ ποῖ ποτ' ἤγαγές με; πρὸς ποίαν στέγην; 1085

ΧΟΡΟΣ.

πρὸς τὴν Ἀτρειδῶν· εἰ σὺ μὴ τόδ' ἐννοεῖς,
ἐγὼ λέγω σοι· καὶ τάδ' οὐκ ἐρεῖς ψύθη.

ΚΑΣΑΝΔΡΑ.

1060 ἆ, ἆ.
μισόθεον μὲν οὖν, πολλὰ συνίστορα στρ. γ'.
αὐτοφόνα κακά, κἀρτάναν,
ἀνδρὸς σφαγεῖον καὶ πέδον ῥαντήριον. 1090

ΧΟΡΟΣ.

ἔοικεν εὔρις ἡ ξένη κυνὸς δίκην
1065 εἶναι, ματεύειν δ' ὧν ἀνευρήσει φόνον.

1057. ἆ Rob.—ποῖ ποῖ vel ποῖ δὴ pro ἆ ποῖ legi vult Elmsl. in Museo crit. Cantabr. vi. p. 306. sine causa.

1058. εἰ σύ. τὸ, μηδ' ἐννοεῖς Flor. εἰ. τόνερ μὴ δ' ἐννοεῖς Farn.

1059. του pro σου Rob.—κἄστα δ' οὐκ Flor.

1060. Interjectiones ἆ ἆ, quæ in Farn. Vict. absunt, omiserunt recentiores, sed leguntur in Med. Ald. Rob. Turn., indeque restitui. ἰὴ ἰὴ Guelph. ex frequente litterarum α et ιυ confusione. ἆ, ἆ Blomf.

1061. ξυνίστορα vulg., quod in συνίστορα metri causa mutarunt Pauw. Glasg. Blomf., et sic Flor.

1062. Versus hic antithetico non respondet, quare αὐτόφονά τι κακὰ scribi voluerunt Pauw. et Herm., καὶ ἀρτάναι Lachm. de chor. syst. p. 105., in antistrophico τὰ βρίφη Blomf., quorum quum unumquodque verum esse possit, neque alterum altero magis sit verisimile, nihil mutare malui. — αὐτόφονα vulg. αὐτοφόνα Rob. Flor., quod recte recepit Blomf.—κἀρτάναι vulg. κἀρτάνας ex emendatione Stanleii et Casauboni Schütz. Blomf., accusativum enim poscit adjectivum συνίστορα, cf. Erf. ad Soph. Ant. 783. ed. min., sed facilior mutatio est κἀρτάναν, quum notum sit, quam sæpe ν et ι in codd. confundantur, cf. Seidl. ad Eur. Troad. 206., neque sensus pluralem postulat. Displicet ratio Lachmanni, qui, puncto post οὖν posito, συνίστορα, ut reliqua omnia, pro nominativis habet.

1063. σφάγιον Ald. Rob. Vict., sed σφαγεῖον Turn., quod metri causa recentiores recte receperunt. — πέδον Pears. Schütz. Humboldt., quod propter copulam καὶ ferri non potest, quamquam fatendum est, adjectiva in ηριος semper fere activam vim habere; nam quæ contra afferri posse videantur, λυστήριον λύσημα Soph. Trach. 551. ἰκέσιον σωτήριον Soph. Œd. Col. 477. πλαδόνος σωτήριοι Choeph. 498. πλοῦτον λυστήριον Choeph. 806., ea omnia, si accuratius adspexeris, activa esse invenies. Tantum στέρημα σωτήριον Choeph. 234. et σωτήρια τράγματα Agam. 632. possunt quodammodo passiva vi prædita videri.

1064. εὔρειν Vict. Stanl. Schütz. εὕρειν Blomf. εὔρειν etiam Med., sed deleto ν suprascriptum est ς antiqua manu. εὔρις Guelph. Ald. Rob. Turn., unde propter majorem librorum auctoritatem et quia forma est rarior, cum Glasg. εὔρις scripsi.

1065. ματεύει Med. Guelph. Ald. Rob. ματεύει Vict. Stanl. Glasg. Schütz., sed ματεύειν rectissime Turn., retento ν, quod et meliores libri habent, sed loco suo motum, idque cum Blomfield. revocavi.—ὧν ἂν εὑρήσει Med. ὧν ἂν εὑρήσῃ Guelph. Rob. ὧν ἂν εὑρήσῃ Ald. ὧν ἂν ἀνευρήσει Turn. ὧν ἐφευρήσει

ΚΑΣΑΝΔΡΑ.

μαρτυρίοισι γὰρ τοῖςδ' ἐπιπείθομαι· ἀντ. γ'.
κλαιόμενα τάδε βρέφη σφαγὰς,
ὀπτάς τε σάρκας πρὸς πατρὸς βεβρωμένας. 1095

ΧΟΡΟΣ.

ἦμεν κλέος σοῦ μαντικὸν πεπυσμένοι,
1070 ἦμεν, προφήτας δ' οὔτινας μαστεύομεν.

ΚΑΣΑΝΔΡΑ.

ἰὼ ποποῖ, τί ποτε μήδεται; στρ. δ'.
τί τόδε νέον ἄχος μέγα
μέγ' ἐν δόμοισι τοῖςδε μήδεται κακὸν 1100
ἄφερτον φίλοισιν, δυςίατον· ἀλκὰ δ'
1075 ἐπὰς ἀποστατεῖ;

ΧΟΡΟΣ.

τούτων ἄϊδρίς εἰμι τῶν μαντευμάτων.
ἐκεῖνα δ' ἔγνων· πᾶσα γὰρ πόλις βοᾷ.

Vict. Stanlei. Schütz., sed ὧν ἀκουήσει unice verum esse collatæ inter se meliorum librorum lectiones facile docent, idque cum Glasg. Blomf. dedi.

1066. Antistrophæ etiam ἄ, ἄ præmisit Blomf., sed quum h. l. in libris non exstet, omisi, neque ad responsionem necessarium videtur, cum ejusmodi exclamationes extra versum poni soleant.—μαρτυρίοις γὰρ vulg. μαρτυρίοις μὲν γὰρ Flor. μαντείοις γὰρ οὖν Abresch., sed μαρτυρίοισι γὰρ recte Pauw., quem sequuntur Glasg. Blomf.—τοῖςδε πιστεύθομαι Flor. Ald. Rob. τοῖςδε πείθομαι Turn. Vict. Stanl. Schütz. repugnante metro. τοῖσι δ' ἰστιπείθομαι Glasg. 1., sed τοῖςδ' ἰστιπείθομαι recte Abresch. Glasg. 2. Blomf.

1067. Accusativi, qui sequuntur, sunt absoluti, pro genitivis. v. Elmsl. ad Eur. Heracl. 693.—τὰ βρέφη Ven. Flor., quod metri causa recepit Blomfield. vid. quæ ad v. 1062. monita sunt. —Comma, quod vulgo post βρέφη ponitur, recte sustulit Schütz., σφαγὰς enim a Κλαιόμενα pendet.—σφαγάς τε Rob.

1069. s. ἦ μὲν—ἦ μὴν Guelph. Farn. Ald. ἦμεν—ἦμεν Rob. ἦμεν—ἰὴ μὴν Turn. ἦμεν—ἦμεν Vict. ἦ μὴν—ἦσμεν Glasg. Blomf. ἦσμεν—ἦσμεν Schütz. Humboldt., sed non est cur tantum a libris discedatur, quum ἦμεν—ἦμεν bonum sensum præbeat.

1070. μαστεύομεν Schütz. contra librorum omnium auctoritatem sine causa.

1071. ἰὼ hic et in antistrophico bis posuit Blomf., sine causa.—ποποῖ Blomf. ex Rob. Ven. Farn., ut v. 1042.—Post ποποῖ Rob. Chori personam ponit. —μήδεσθαι Ald.

1072. ἄχθος vulg. ἴχθος Casaub. Pears. ἄγος Both. Schütz. ἄχος Flor. Farn. Seidl. de verss. doclim. p. 161. Blomf. recte. Θ ex sequente Ο natum est.

1074. φίλοισι vulg., quod metri causa in φίλοισιν mutandum esse viderunt Pauw. Glasg. Blomf. et sic Farn.—ἀλκὰν Vict. Canter. ἀλκὰ vel ἀλκὰς conj. Tyrwhitt., sed ἀλκὰ habent Med. Ald. Rob. Turn., et hinc Schütz. Glasg. Blomf.

1077. βοᾷ πόλις Farn. Vict. Cant. Stanl. Schütz., sed πόλις βοᾷ Med. Guelph. Ald. Rob. Turn. et hinc recte Glasg. Blomf.

Digitized by Google

ΚΑΣΑΝΔΡΑ.

ἰὼ τάλαινα, τόδε γὰρ τελεῖς, ἀντ. δ'. 1105
τὸν ὁμοδέμνιον πόσιν
1080 λουτροῖσι φαιδρύνασα; πῶς φράσω τέλος;
τάχος γὰρ τόδ' ἔσται. προτείνει δὲ χεῖρ' ἐκ
χειρὸς ὀρεγομένα.

ΧΟΡΟΣ.

οὔπω ξυνῆκα· νῦν γὰρ ἐξ αἰνιγμάτων 1110
ἐπαργέμοισι θεσφάτοις ἀμηχανῶ.

ΚΑΣΑΝΔΡΑ.

1085 ἒ, ἒ, παπαῖ, παπαῖ, τί τόδε φαίνεται; στρ. ε'.
ἦ δίκτυόν τί γ' Ἅιδου;
ἀλλ' ἄρκυς ἡ ξύνευνος, ἡ ξυναιτία
φόνου. στάσις δ' ἀπόρετος γένει 1115
κατολολυξάτω θύματος λευσίμου.

ΧΟΡΟΣ.

1090 ποίαν Ἐρινὺν τήνδε δώμασιν κέλῃ
ἐπορθιάζειν; οὔ με φαιδρύνει λόγος.

1080. φαιδρύνασ' Rob.

1081. προστῶν δὲ χεῖρ' Aldin. Turn. προτείνει δὲ χεῖρ * in Rob. (asterisco forsitan ex errore typ. pro apostropho posito) προτείνει δὲ χεῖρ' Glasgov. Schütz. προτείνει γὰρ χεῖρ Ven. προτείνει δὲ χεῖρ Vict. Blomf Herm. ad Humboldt. Lachm. p. 10). propter versum sequentem.

1082. χειρὸς Glasg. 2. Blomf. metri causa, quod non necessarium est.—χειρὸς ὀρεγμένα Flor. Farn., quæ aperte metrica est Triclinii correctio, quum χειρὸς ὀρεγομένα strophico recte respondere ignoraret. Sed ex scholiastæ verbis διαδέχονται δὲ ἀλλήλους τοῖς ὀρεγμασιν τῶν χειρῶν Αἴγισθος καὶ Κλυταιμνηστρα Hermann. ad Humboldt. conjecit ὀρέγματα legendum esse, quem sequuntur Blomfield. et Lachm. Difficilis sane est optio inter has lectiones προτείνει δὲ χεῖρ' ἐκ χειρὸς ὀρεγομένα et προτείνει δὲ χεῖρ ἐκ χειρὸς ὀρέγματα. Hæc quidem elegantior videtur et doctior, prætereaque versum strophico ad amussim exæquat; sed quum illa optimis libris nitatur, neque aut sensus aut metri causa offensionem habeat, deserere eam non ausus sum. Præterea aptius videtur, de Clytæmnestra sola sermonem esse, quum Ægisthi nullam adhuc mentionem injecerit Cassandra.

1083. θὴν γὰρ vult Schütz. male.

1084. ἐπ' ἀργέμοισι Med. Farn. Turn. var. lect. ap. Stephan.—ἀμηχανῶ Ven.

1086. ἀΐδου Ald. Rob. Turn. Schütz. invito metro.

1087. ἀπόρεστος vulg., quod in ἀπόρετος mutandum esse metrum docet, et sic Hermann. Blomf.

1088. θύματι Ald. θύματι Turn.

1090. ἐρινῦν Med. Rob. ἐρινὺν Guelph. Blomf. ἐρινὰν Ald. ἐρινὺν Turn. Vict.—δώμασι Rob. Turn.—κέλῃ Rob. κέλῃ Vict. κέλῃ Ald. κελεῖ Turn. κέλει Glasg. Schütz. Blomfield. sine libris.

1091. ἐπορθιάζων Turn.

Digitized by Google

ἐπὶ δὲ καρδίαν ἔδραμε κροκοβαφὴς
σταγὼν, ἅτε καὶ δορία πτώσιμος 1120
ξυνανύτει βίου δύντος αὐγαῖς.
1095 ταχεῖα δ' ἄτα πέλει.

ΚΑΣΑΝΔΡΑ.

ἆ, ἆ· ἰδοὺ, ἰδού· ἄπεχε τῆς βοὸς ἀντ. ε.
τὸν ταῦρον; ἐν πέπλοισιν 1125
μελάγκερων λαβοῦσα μηχανήματι
τύπτει· πίτνεῖ δ' ἐν ἐνύδρῳ τεύχει.
1100 δολοφόνου λέβητος τύχαν σοὶ λέγω.

ΧΟΡΟΣ.

οὐ κομπάσαιμ' ἂν θεσφάτων γνώμων ἄκρος
εἶναι, κακῷ δέ τῳ προσεικάζω τάδε. 1130
ἀπὸ δὲ θεσφάτων τίς ἀγαθὰ φάτις
βροτοῖς στέλλεται; κακῶν γὰρ διαὶ

1092. ἐπὶ Guelph. Ald.—ἵδραμε Turn.

1093. καὶ δορία Ald. Turn. καὶ δορίω Rob. καὶ δορία Vict. Variæ sunt virorum doctorum conjecturæ: ἔτι καὶ δορὶ πτωσίμος Casaubon. Stanl. Schütz. Blomf. ἔτι καὶ δορῷ πτώσιμος Pears. ἔτι κάνορίᾳ πτώσιμος Pauw. ἔτι γῇ δορὶ πτώσιμος Herm. ad Humboldt., sed ut dativus duplex incommodus est, ita intelligi non potest, unde illud α ante πτώσιμος irrepserit. Locus sine libris sanari non posse videtur, quare vulg. retinui.

1094. ξυναντεῖ Aldin. Rob. Turn. ξυναντεῖ Vict. Stanlei. Schütz. Herm. ad Humboldt. ξυνανύτει Glasg. Blomf. Quum propter præcedentis versus obscuritatem sensus non perspicuus sit, de lectionis veritate judicari non potest.—αὐγὰς Pauw. Heath. Schütz.

1096. βοῆς Farn.

1097. πέπλοισι Guelph. Ald. Turn. Glasg.

1098. μελαγκαίρωνι Guelph. Ald. μελαγκέρω Rob. μελαγκέρῳ var. lect. ap. Schol. et sic Casaub. Schütz. Humb., quod si verum esset, neque κεκρυμμένῳ explicandum esset cum Schol., neque cum Schütz. de bipenni corneo manubrio instructa accipiendum, sed ad vaccam referendum esset, nigris cornibus præditam. Ea autem minus apte μηχάνημα vocarentur, et ob id ipsum præfero vulgatum μελαγκέρων, ad taurum referendum.

1099. πίπτει Guelph. Aldin. πίπτει Turn.—δ' ἐνύδρῳ vulg. δ' ἐν ὕδρῳ Ald., sed δ' ἐν ἐνύδρῳ metri causa recte Schütz. Blomf. Sed Blomf. etiam πίπτει pro τεύχει dedit, quod non necessarium est.

1100. δὴ ante λέβητος habent Vict. Cant. Stanl. Schütz., sed recte abest in Med. Guelph. Flor. Farn. Ald. Rob. Turn. Glasg. Blomf.—χέβητος Ald.

1101. οὐκ ἐμπάσαι μ' ἄνδι σφάτων Ald.

1102. κακῷ δίκῳ Ald.

1103. ἀπαδίδις φάτων Ald.—τὶς vulg., sed τίς scribendum, et post στέλλεται, ubi vulg. puncto distinguitur, interrogationis notam ponendam esse, viderunt Heath. Pauw. Schütz. Blomf.

1104. βροτοῖσι Farn. Vict. Stanl. Schütz., sed βροτοῖς, quod metrum postulat, Med. Guelph. Ald. Rob. Turn. Glasg. Blomf.—κακῶν γὰρ δὴ αἱ Farn. Vict. Glasg. l. hinc κακῶν δὴ γὰρ αἱ

Digitized by Google

1105 πολυεπεῖς τέχναι θεσπιῳδὸν
φόβον φέρουσιν μαθεῖν.

ΚΑΣΑΝΔΡΑ.

ἰώ, ἰώ, ταλαίνας κακόποτμοι τύχαι. στρ. ε'. 1135
τὸ γὰρ ἐμὸν θροῶ πάθος ἐπεγχέασα.
ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες;
1110 οὐδέν ποτ' εἰ μὴ ξυνθανουμένην. τί γάρ;

ΧΟΡΟΣ.

φρενομανής τις εἶ θεοφόρητος, ἀμ- 1140
φὶ δ' αὐτᾶς θροεῖς
νόμον ἄνομον, οἷά τις ξουθὰ
ἀπόρετος βοᾶς, φεῦ, ταλαίναις φρεσὶν

Herm. Schütz. Lobeck. ad Aj. p. 339., sed *κακῶν γὰρ διὰ* Med. Guelph. Ald. Rob. Turn. Glasg. 2., ex quo cum altera illa lectione collato perspicuum est *κακῶν γὰρ διαὶ* scribendum esse, et sic Herm. ad Humboldt. et Blomf.

1105. *πολυπειῆς* Vict. Canter. Stanl. Glasg. Schütz. Humboldt. *πολυπειῆς* Med. Ven. Flor. Farn. Ald. Rob. Turn., quod quin vel sine hac optimorum librorum auctoritate præferendum fuerit, nemo dubitare potest, et prætulerunt Herm. ad Humboldt. et Blomf.—Vocabula *θεσπιῳδὸν φόβον* omittit Rob. *θεσπιῳδῶν* emendarunt Casaub. Pears. Heath. Schütz. *θεσπιῳδοὶ* Hermann. ad Humboldt., quod, si quid mutandum est, alteri emendationi præferendum est, sed vulgata sana videtur.

1106. *φέρουσι* vulg., sed *φέρουσιν* exigente metro Pauw. Glasg. Blomf., et sic Farn.

1107. *ἰὼ* semel auctore Buttlero Blomf., sine causa, versus compositus est ex dochmio hypercatalecto et dochmio.

1108. *θροῦ* Ald. *θροῦ* Turn.—*ἐπαγχέασα* Vict. Stanl. Schütz. *ἐπιγχέασα* Guelph. Ald. Rob. Turn. Glasg. Blomf., qui tamen corruptum putat. *ἐπ' ἄχθη τὰ* emendavit Seidl. de vers. dochm. p. 14. Hermannus autem ad Humboldt. sanum putat, antistrophicum autem ita legit *περιβάλοντο αἱ πτεραφόρον δίμας γάρ*, in quo, ut *γάρ* quinto loco positum taceam, cujus sane exempla exstant, offendit tamen hiatus in *περιβάλοντο αἱ*, et ipsum illud *ἐπιγχέασα* quem sensum habeat non video, quare mihi quoque corruptum videtur.

1110. *οὐδέν ποτ' εἰ μὴ* Med. Guelph. Rob. *οὐδέν ποτ' εἰμὶ* Ald. Turn. *οὐδέποτ' εἰ μὴ* Vict. *οὐ δέποτ' εἰ μὴ* Farn. De vera lectione nemo dubitare potest. —Interrogationi *τί γὰρ* Chori personam præfigit Rob.

1111. *τις ἦ* Guelph. Ald. Turn.

1112. *αὐτᾶς* Turn. Blomfield. *αὐτᾶς* Ald.

1113. *ἄνομόν γε* Vict. *ἄνομόν γ'* Farn. et sic Pauw. Schütz., sed *γε*, quod aperte tanquam fulcrum additum est versui, qui antistrophico corrupto non videbatur respondere, recte omittunt Med. Guelph. Ald. Rob. Turn. Glasg. Blomf.

1114. *ἄπορτος* vulg. metro invito, *ἀπόρετος* recte Ald. Glasg. Blomfield.—*βοῦς* Rob. *βοᾶς* Turn.—*βοᾶς φιλοίκτοις φρεσίν* Farn., hinc *βοᾶς φιλοίκτοις ταλαίναις φρεσίν* Vict., sed pro *φιλοίκτοις*, quod aperte ex glossemate natum est, *φῶ* legitur in Med. Guelph. Aldin. Rob. Turn., quod metro postulante receperunt Glasg. Schütz. Blomfield. In iisdem *ταλαίναις* legitur, cujus loco *ταλαίναις* habet Vict., quod receperunt Glasg. Schütz. Blomf. Incommodum sane foret, *ταλαίνας* cum *βοᾶς* jungere.

Digitized by Google

1115 Ἴτυν Ἴτυν στένουσ' ἀμφιθαλῆ κακοῖς
ἀηδὼν βίον. 1145

ΚΑΣΑΝΔΡΑ.

ἰὼ, ἰὼ, λιγείας μόρον ἀηδόνος· ἀντ. ε'.
περιβάλοντο γάρ οἱ πτεροφόρον δέμας
θεοὶ, γλυκύν τ' αἰῶνα κλαυμάτων ἄτερ·
1120 ἐμοὶ δὲ μίμνει σχισμὸς ἀμφήκει δορί. 1150

ΧΟΡΟΣ.

πόθεν ἐπισσύτους θεοφόρους τ' ἔχεις
ματαίους δύας,
τὰ δ' ἐπίφοβα δυςφάτῳ κλαγγᾷ
μελοτυπεῖς, ὁμοῦ τ' ὀρθίοις ἐν νόμοις;
1125 πόθεν ὄρους ἔχεις θεσπεσίας ὁδοῦ 1155
κακορρήμονας;

ΚΑΣΑΝΔΡΑ.

ἰὼ γάμοι, γάμοι στρ. ζ'.
Πάριδος ὀλέθριοι φίλων.
ἰὼ Σκαμάνδρου πάτριον ποτόν.
1130 τότε μὲν ἀμφὶ σὰς ἀϊόνας τάλαιν'

1115. ἴτυν ἴτυν σθένουσ' ἀμφὶ θαλῆ Ald.

1116. ἀηδὶν Rob.

1117. ἰὼ semel Blomf., ut in strophico.—ἀηδόνος μόρον vulgat., quod transponi jubet metrum, et sic auctore Hermanno Blomf.

1118. περιβάλοντο Med. περιβάλλοντο Ald. παρεβάλοντο Rob. περιβάλοντο Turn. Vict. Glasg. περιβαλόντες Ven. Flor. Farn. παρέβαλον Schütz. περίβαλον Blomf., quod verum puto, sed in textu nihil mutare ausus sum, quia antithetici lectio incerta est. Hermanni ratio ad strophicum allata est.—πτεροφόρον Rob.

1119. ἀγῶνα Guelph. Ven. Farn. Ald Rob. Vict. Schol. var. lect. ap. Turn. αἰῶνα Turn. var. lect. ap. Schol. Stanl. Pauw. Glasg. Schütz. Blomf. recte.—καμάτων Guelph. Ald.

1120. ἀμφίκη Ald.

1122. δοι pro δύας Ald. δ' αἰ Turn.

1123. ἐπὶ φόβῳ Ald. Rob. Turn. ἐπιφόβῳ Vict. Stanl. Glasg. Schütz., utrumque sine sensu. ἐπίφοβα Flor. Farn. ἐπίφοβα Aurat. Blomf, quod metrum quoque postulat.

1124. μελοτυπεῖς Flor. μολοτυπεῖς Farn.—ἐνόμοις Ald. Rob.

1125. ἔχουσ' Guelph —ἔχῃ Flor.—θεσπίας Vict. var. lect. ap. Turn. Cant. Stanl. θεσπιτίας Ald. θεσπισίας Med. Rob. Turn.

1126. Inde ab hoc versu lacuna est in cod. Med. usque ad Choeph. v. 10.

1127. γάμοι γάμοι Ald. γάμοι semel Rob.

1130. τάλαινα Vict. Canter. Stanl., sed τάλαιν' Guelph. Ald. Rob. Turn. et recentiores.

Digitized by Google

ἠνυτόμαν τροφαῖς· 1160
νῦν δ' ἀμφὶ Κωκυτόν τε κἀχερουσίους
ὄχθους ἔοικα θεσπιῳδήσειν τάχα.

ΧΟΡΟΣ.

τί τόδε τορὸν ἄγαν ἔπος ἐφημίσω,
1135 νεογνὸς ἀνθρώπων μάθοι·
πέπληγμαι δ' ὑπαὶ δήγματι φοινίῳ, 1165
δυςαλγεῖ τύχᾳ μινυρὰ θρεομένας,
θραύματ' ἐμοὶ κλύειν.

ΚΑΣΑΝΔΡΑ.

ἰὼ πόνοι, πόνοι ἀντ. ζ'.
1140 πόλεος ὀλομένας τοπᾶν.
ἰὼ πρόπυργοι θυσίαι πατρὸς

1131. Hunc versum in Guelph. Aldin. Turn. statim sequitur Choeph. v. 10. et Agamemnonis inscriptio usque ad Choephororum finem continuatur. In Rob. eadem est lacuna, sed monuit editor, multa deesse et sequentia ex Choephoris esse.

1133. κἀχερουσίους ὄχθους ex emendatione Casauboni Blomf., quia ὄχθος sit tumulus, ὄχθα ripa; sed utrumque vocabulum proprie idem significat: collem ad ripam sitam, ut Pers. 465., deinde autem loquendi consuetudo ita tulit, ut altera forma magis ripæ, altera tumuli significationem indueret, ita tamen, ut altera alterius vim interdum haberet, sic Ἰσμήνου πρὸς ὄχθον *ad ripam Ismeni* Eur. Suppl. 655.

1134. In fine hujus versus interrogationis signum posuit Blomfield., quia τί non possit pro ὅ τι poni, sed ὅτι ἐφημίσω est *quod dixisti*, τί ἐφημίσω *quid dixeris*.

1135. νεογνὸς ἂν ἀνθρώπων μάθοι Schütz., sed ἂν in ejusmodi dictione recte abesse, jam sæpius monitum est; at eadem de causa Blomf. νεογνὸς ἂν μάθοι omisso ἀνθρώπων, quo factum est, ut in antistropha turbas moveret.

1136. ὑπὸ Ven. Flor. ἧπαρ conjecit Canter., quod probat Valck. ad Hippolyt. 1070., sed non necessarium est. Schütz. metri causa post ὑπαὶ aliquid excidisse putat, sed de metro ad antistrophicum videbimus.—δείμασι conj. Stanl. male.

1137. δυςαγγεῖ τύχᾳ Farn. Vict., quod jam Cant. correxit. δυςαλγεῖς τύχας Schütz. sine causa.—μινυρὰ κακὰ θρεομένας vulg., quo metrum possumdatur, quare Seidler. de verss. dochm. p. 43. et 172. in antistrophico θανατηφόρα scribendum putat, sed rectius viderunt Schütz., Herm. El. metr. p. 279. et ad Humboldt. atque Blomf., κακὰ ejiciendum esse, quod interpretamentum est. θρεομένας autem, quod volunt Hermann. et Seidl., non video cur sit necessarium.

1138. τραύματ' ex conj. Canteri. Pauw. Schütz. δαύματ' Tyrwhitt. Schneider. in Lexic. et Blomf., sed θραύματα, *quæ animum frangunt*, verum est.—κλύων Schütz., a quo genitivus θρεομένας pendeat, pessime; ille est genitivus absolutus, ad quem σοῦ supplendum, ut v. 1251., κλύειν autem a θραύματα pendet.

1140. πόλεος ὀλουμένας Vict. Stanl. Schütz. πόλεος ὀλομένας Ven. Flor. πόλεος ὀλουμένας Glasg. 1. πόλεος ὀλομένας Casaub., sed recte πόλεος ὀλομένας Glasg. 2. Blomf.

Digitized by Google

πολυκανεῖς βοτῶν ποιονόμων· ἄκος δ' 1170
οὐδὲν ἐπήρκεσαν,
τὸ μὴ πόλιν μὲν ὥσπερ οὖν ἔχει παθεῖν.
1145 ἐγὼ δὲ θερμόνους τάχ' ἐν πέδῳ βαλῶ.

ΧΟΡΟΣ.

ἑπόμενα προτέροισι τάδ' ἐφηρίσω.
καὶ τίς σε κακοφρονῶν τίθη- 1175
σι δαίμων ὑπερβαρὴς ἐμπιτνὼν,
μελίζειν πάθη γοερὰ θανατοφόρα;
1150 τέρμα δ' ἀμηχανῶ.

ΚΑΣΑΝΔΡΑ.

καὶ μὴν ὁ χρησμὸς οὐκέτ' ἐκ καλυμμάτων
ἔσται δεδορκὼς, νεογάμου νύμφης δίκην· 1180
λαμπρὸς δ' ἔοικεν ἡλίου πρὸς ἀντολὰς,
πνέων ἐσήξειν, ὥστε κύματος δίκην
1155 κλύζειν πρὸς αὐγὰς τοῦδε πήματος πολὺ

1143. ἐπήρκεσεν Blomf. male, nec melius, quod idem proponit, ἄχος δ' οὐδὲν ἐπήρκεσαν.

1144. μὴ οὐ scribi jussit Hermann. de Ellips. et Pleonasm. p. 222., quod recepit Blomf. Sed ipse jam recte mutavit sententiam ad Viger. p. 800., et simplex μὴ positum esse putat, quia non de re futura, sed de præterita et certa sermo est, ut Soph. Trach. 225. ἰρῶ, φίλαι γυναῖκες, οὐδέ μ' ὄμματος φρουρὰ παρῆλθε, τόνδε μὴ λύσασιν στόλον.—ἔχειν Vict., quod correxit Stanl.

1145. ἐμπίδῳ vulg., quod in ἐν πίδῳ recte mutarunt Casaub. Heath. Blomf. Sed neque sic versus sanus esse videbatur, quare θερμὸν ὡς τάχ' emendavit Canter. θερμὸν ἰοῦν Musgr. θερμονὰς Lachm. de chor. syst. p. 106. θερμὸν οὖς etiam emendare aliquem memini. θερμόνους τάχ' ἐμπίσω βέλῳ Both. Schütz. τάδ' pro τάχ' vult Blomf. Nihil mutandum, sed ἐμαυτὸν ad βαλῶ supplendum videtur.

1146. προτέροις vulg., quod metri causa recte correxerunt Pauw. Schütz. Glasg. Blomf.

1147. καὶ κακοφρονῶν vulgat., sed καὶ, ut facile ex vocabulo sequente nasci potuit, ita metro adversatur, quare ejiciendum esse recte judicavit Hermann. ad Humboldt., quem sequitur Blomfield., et abest in Ven. Flor. κακοφρονῶν ex emendatione Schützii Humboldt. Blomf. recte.

1148. Blomf., quia v. 1135. dedit νεογνὸς ἂν μάθοι, hoc versu scribendum putat τίθησι δαίμων καὶ βαρὺς ἐμπίτνων. Debebat saltem τίθησιν scribere, sed nihil mutandum esse, nostra versuum distributio docet, quæ Hermannum sequitur.

1149. θανατηφόρα Pauw. Glasg. 2. Seidl. de vers. dochm. p. 43. et 172. Lobeck. ad Phrynich. p. 651., sed vid. quæ ad v. 1137. monita sunt.

1152. νύμφας Vict., quod correxerunt Glasg. Blomf.

1154. ἐσήξειν vel ἐσαίξειν cum Bothio vult Blomf. sine causa.

1155. κλύειν vulgat. κλύζειν Aurat. Schütz. Glasg. Blomfield. recte, sed πρὸς ἀκτὰς, quod idem vult Aurat., probantque Buttler. et Blomf. non magis

Digitized by Google

μεῖζον· φρενώσω δ' οὐκέτ' ἐξ αἰνιγμάτων.
καὶ μαρτυρεῖτε συνδρόμως ἴχνος κακῶν 1185
ῥινηλατούσῃ τῶν πάλαι πεπραγμένων.
τὴν γὰρ στέγην τήνδ' οὔποτ' ἐκλείπει χορὸς
1160 σύμφθογγος, οὐκ εὔφωνος· οὐ γὰρ εὖ λέγει.
καὶ μὴν πεπωκώς γ', ὡς θρασύνεσθαι πλέον,
βρότειον αἷμα κῶμος ἐν δόμοις μένει, 1190
δυςπεμπτος ἔξω, συγγόνων Ἐριννύων.
ὑμνοῦσι δ' ὕμνον δώμασι προςήμεναι
1165 πρώταρχον ἄτην· ἐν μέρει δ' ἀπέπτυσαν
εὐνὰς ἀδελφοῦ, τῷ πατοῦντι δυςμενεῖς.
ἥμαρτον, ἢ θηρῶ τι τοξότης τὶς ὤς; 1195
ἢ ψευδόμαντίς εἰμι θυροκόπος φλέδων;
ἐκμαρτύρησον προὐμόσας τό μ' εἰδέναι
1170 λόγῳ παλαιὰς τῶνδ' ἁμαρτίας δόμων.

ΧΟΡΟΣ.

καὶ πῶς ἂν ὅρκος, πῆγμα γενναίως παγὲν,
παιώνιον γένοιτο; θαυμάζω δέ σου, 1200
πόντου πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν

est necessarium, quam πρὸς αὐτὰς, quod suspicatur Blomf.

1157. ξυνδρόμως Glasg. Schütz.

1158. ῥινηλατούσης Vict. Canter. ῥινηλατούσῃ Aurat. Casaubon. Stanl. Glasg. Schütz. Blomfield., quod recepi, quia idem in Farn. et ῥινηλατούσῃ in Flor. legitur; nam possit sane etiam genitivus defendi, ut sit absolutus subaudito ἰμοῦ, ut v. 1137.

1160. ξύμφθογγος Schütz. Glasg. Blomf.

1162. Schützius Κῶμος scripsit et post δύςπεμπτος commate interpunxit; male. Verba δύςπεμπτος ἔξω commatibus includenda sunt, ut κῶμος Ἐρινύων jungatur. Sic Herm. ad Humb. et Blomf. —ξυγγόνων Schütz. Glasg. Blomf.— Ἐρινύων Blomfield.

1164. δώμασιν Glasg. Blomf.

1165. πρώταρχος Flor.

1166. Post ἀδελφοῦ recte interpunxit Pauw., ut ἀπέπτυσαν εὐνὰς jungatur; quominus enim cum Heath. et Blomf. construatur δυςμενεῖς τῷ πατοῦντι εὐνὰς ἀδελφοῦ, prohibet ordo verborum.

1167. θηρῶ Ven. Flor. Farn. Vict. θηρῶ Canter. et recentiores.

1169. καὶ μαρτύρησον Farn.

1171. ὅρκος πῆγμα vulg. ὅρκου πῆγμα Aurat. Cant. Stanl. Casaubon. Schütz. Blomf., qui inepte suspicatur legendum esse ὅρκοις ῥῆμα. Verum esse πῆγμα, docet παγὲν, ὅρκος autem non mutandum est, et omnis difficultas tollitur commate ante πῆγμα posito, quod cum Glasg. fecit Humboldt. παγέντας ὅρκους habet Eur. Iph. Aul. 395.

1172. παιώνιος Farn. Casaub.

1173. Vulgo post πόλιν commate interpungitur; hinc locus ita obscurus fuit, ut Abresch. et Both. ἀλλοθρούτολιν reponerent, Schütz. post ἀλλόθρουν complures versus excidisse putaret. Sed

Digitized by Google

κυρεῖν λέγουσαν, ὥςπερ εἰ παρεστάτεις.

ΚΑΣΑΝΔΡΑ.

1175 μάντις μ' Ἀπόλλων τῷδ' ἐπέστησεν τέλει.

ΧΟΡΟΣ.

μῶν καὶ θεός περ ἱμέρῳ πεπληγμένος; 1205

ΚΑΣΑΝΔΡΑ.

προτοῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε.

ΧΟΡΟΣ.

ἀβρύνεται γὰρ πᾶς τις εὖ πράσσων πλέον.

ΚΑΣΑΝΔΡΑ.

ἀλλ' ἦν παλαιστὴς, κάρτ' ἐμοὶ πνέων χάριν.

ΧΟΡΟΣ.

1180 ἦ καὶ τέκνων εἰς ἔργον ἤλθετον νόμῳ;

ΚΑΣΑΝΔΡΑ.

ξυναινέσασα Λοξίαν ἐψευσάμην.

ΧΟΡΟΣ.

ἤδη τέχναισιν ἐνθέοις ἠρημένη; 1210

ΚΑΣΑΝΔΡΑ.

ἤδη πολίταις πάντ' ἐθέσπιζον πάθη.

ΧΟΡΟΣ.

πῶς δῆτ' ἄνατος ἦσθα Λοξίου κότῳ;

ΚΑΣΑΝΔΡΑ.

1185 ἔπειθον οὐδέν' οὐδὲν, ὡς τάδ' ἤμπλακον.

comma post πόλιν delendum esse, recte vidit Herm. ad Humboldt., ut accusativus πόλιν a λέγουσαν pendeat.

1175 sqq. Hæc vulgo sic leguntur: ΚΑ. μάντις μ' Ἀπόλλων τῷδ' ἐπέστησεν τέλει. προτοῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε. ΧΟ. μῶν καὶ θεός περ ἱμέρῳ πεπληγμένος; ἀβρύνεται κ. τ. λ., quæ quum male cohærere sentiret Schützius, versum qui ab ἀβρύνεται incipit, Cassandræ tribuit, et deinde unum versum, qui Chori interrogationem contineret, excidisse putat. Aliter, nec tamen melius, hunc locum constituit Orell. ad Isocr. p. 373. Verum versuum ordinem, quem in textu exhibui, restituit Herm. ad Humb., quem sequitur Blomf.

1178. βαρύνεται Farn.

1180. ἤλθετόν γ' ἐμοῦ voluit Buttler. ἠλθέτην autem Elmsl. ad Aristoph. Acharn. 733. et ad Eur. Med. 1041., hinc ἠλθέτην ἐμοῦ Blomf., quod non displicet, sed νόμῳ ex more non est spernendum.

1184. ἄνακτος vulg. ἄνατος conj. Canter. et Dawes. Misc. Crit. p. 236., probabit Schæfer. melet. crit. p. 137. (ubi male Λοξίᾳ scripsit) et receperunt Schütz. Glasg. Blomf., qui male κότου legendum proponit.

1185. οὐδὲν οὐδὲν Vict. Cant. Stanl., sed οὐδὲν' οὐδὲν scribendum esse vidit Cant., quem sequuntur recentiores.— ἥμπλακον Glasg. Blomf.

ΧΟΡΟΣ.

ἡμῖν γε μὲν δὴ πιστὰ θεσπίζειν δοκεῖς.

ΚΑΣΑΝΔΡΑ.

ἰοὺ, ἰοὺ, ὦ ὦ κακά. 1215
ὑπ' αὖ με δεινὸς ὀρθομαντείας πόνος
στροβεῖ, ταράσσων φροιμίοις ἐφημίοις.
1190 ὁρᾶτε τούσδε τοὺς δόμοις ἐφημένους
νέους, ὀνείρων προσφερεῖς μορφώμασιν;
παῖδες θανόντες ὡςπερεὶ πρὸς τῶν φίλων, 1220
χεῖρας κρεῶν πλήθοντες οἰκείας βορᾶς,
σὺν ἐντέροις τε σπλάγχν', ἐποίκτιστον γέμος,
1195 πρέπουσ' ἔχοντες, ὧν πατὴρ ἐγεύσατο.
ἐκ τῶνδε ποινάς φημι βουλεύειν τινὰ
λέοντ' ἄναλκιν ἐν λέχει στρωφώμενον 1225
οἰκουρὸν, οἴμοι, τῷ μολόντι δεσπότῃ
ἐμῷ. φέρειν γὰρ χρὴ τὸ δούλιον ζυγόν.
1200 νεῶν τ' ἔπαρχος Ἰλίου τ' ἀναστάτης
οὐκ οἶδεν οἷα γλῶσσα μισητῆς κυνὸς
λέξασα, κἀκτείνασα φαιδρόνους, δίκην 1230
ἄτης λαθραίου, τεύξεται κακῇ τύχῃ.
τοιαῦτα τολμᾷ· θῆλυς ἄρσενος φονεύς

1189. φροιμίοις ἰφημίοις vulg. φροιμίοις οἱ ἰφημένους Ven. φροιμίοις ἰφημένους Farn. Hinc patet librarium, oculo in finem versus sequentis aberrante, inde ἰφημένους sumsisse pro eo vocabulo, quod scribendum erat; ita jam Buttlerus judicavit. Frustra igitur varias conjecturas tentarunt viri docti: ἰκφημίοις Casaub. ἰφυμνίοις Jacob., quod recepit Blomf. ἰύφημίοις Stanl. et Spanh. ad Callim. hymn. in Del. 89. ὑφηνίοις Musgr. φροιμίων ἰύφημίαις Schütz. φροιμίοις ἰφ' ἡμέρους Both. φροιμίοισι φημίοις Blomf.

1191. μορφώμασι Glasg. Blomfield. —Interrogationis loco punctum posuit Schütz. male.

1194. ξὺν Glasg. Schütz.

1196. ποινὰς φημὶ Farn. Blomfield.

1199. δούλειον Farn.

1200. νεῶν δ' Schütz. inepte.—ἄπαρχος Farn. Vict. ἔπαρχος Cant. et recentiores.

1202. λέξασα conj. Tyrwhitt. Both., quod non displicet.—καὶ κτείνασα Vict. κἀκτείνασα ex emendatione Canteri recentiores.

1204. τοιαῦδε Ven. Flor.—Post θῆλυς vulgo interpungitur, sed θῆλυς ἄρσενος sibi opponi et conjungenda esse perspicuum est, quod primus vidit Tyrwhitt., qui ita interpungit: τοιαῦτα τολμᾷ θῆλυς ἄρσενος φονεύς. Hoc egregium sane sensum præbet, sed quid deinde ἐστὶν significet? Elmsl. ad Eur. Heraclid. 387., qui eodem modo interpungit, ἐστὶν in εἶεν mutat, quod non displicet. Sed si ἐστὶν retinendum est, post τολμᾷ inter-

1205 ἐστιν. τί νιν καλοῦσα δυςφιλὲς δάκος,
τύχοιμ' ἄν; ἀμφίσβαιναν, ἢ Σκύλλαν τινὰ
οἰκοῦσαν ἐν πέτραισι, ναυτίλων βλάβην, 1235
θύουσαν, Ἅιδου μητέρ', ἄσπονδόν τ' ἄρην
φίλοις πνέουσαν; ὡς δ' ἐπωλολύξατο
1210 ἡ παντότολμος, ὥςπερ ἐν μάχης τροπῇ.
δοκεῖ δὲ χαίρειν νοστίμῳ σωτηρίᾳ.
καὶ τῶνδ' ὅμοιον εἴ τι μὴ πείθω· τί γάρ; 1240
τὸ μέλλον ἥξει. καὶ σύ μ' ἐν τάχει παρὼν
ἄγαν γ' ἀληθόμαντιν, οἰκτείρας, ἐρεῖς.

ΧΟΡΟΣ.

1215 τὴν μὲν Θυέστου δαῖτα παιδείων κρεῶν
ξυνῆκα καὶ πέφρικα· καὶ φόβος μ' ἔχει,
κλύοντ' ἀληθῶς οὐδὲν ἐξηπασμένα. 1245
τὰ δ' ἄλλ' ἀκούσας, ἐκ δρόμου πεσὼν τρέχω.

pungi oportet, idque cum Blomfield. feci, quamquam hæc disjunctio non satis placet.

1205. Post τί interrogationis notam ponit Pauw., male; locutionem illustrat Hermann. ad Soph. El. 756.

1208. Comma post θύουσαν habet Vict.—In Ἅιδου μητέρα neminem offendisse miror, quod mihi quidem vitiatum videtur. Silentio prætereundi sunt Potter. ad Lycophr. 1188. et Schütz., qui vertunt *Orci matri sacrificantem*, ignorantes scilicet, i dativi non elidi. Sed quod vertunt *matrem infernalem*, id an ne uno quidem exemplo confirmari possit, dubito; nam quæ Bothius affert ᾅδου μολπὰς, ᾅδου μαγείρου, Βάκχα νεκύων, ea aliena sunt, et si revera illo genitivo *abominanda, dira*, exprimeretur, non μητὴρ, sed δάμαρ vocanda erat. Deinde hoc versu non nova convicia contineri debent, sed causa, ob quam nominibus illis digna sit, id quod ex particula τι elucet. Ita hic sensus mihi quærendus videtur: *amphisbanamne an Scyllam eam nominem —, quippe quæ Orco immolat et amicis bellum infert.* Nisi igitur insolentius aliquod compositum in Ἅιδου μητέρ' latet, Ἅιδου νύμφη' vel simile quid legendum est.—ἀρὰν vulg., sed neque ἄσπονδος ἀρὰ dici potest, neque ἀρὰν πνεῖν. Certissima igitur est emendatio Lobeckii ad Soph. Aj. p. 341. ἄρην reponentis, ab ipso aptissimis exemplis stabilita. In eandem incidit et Buttlerus, et recepit Blomf.

1212. Post πείθω Schütz. et Humboldt. aposiopeseos signum ponunt, cui et ὅμοιον et sequens τί γάρ; repugnat. Sensus est: *et horum si tibi quid non persuadeo, perinde est*, ut infra v. 1376. σὺ δ' αἰνῶν εἴτε μὲ ψέγων θέλεις ὅμοιον. Ad sensum similiter Herod. vii. 80. ἢν δὲ αἰνοῦσι μὴ πιστὰ γίνηται, ὅμοιον ἡμῖν ἔσται. cf. Markl. ad Eur. Suppl. 1069. —τί γάρ affirmandi significatione illustrat Heind. ad Plat. Sophist. 38.

1214. σὺ μὲν τάχει Vict. σύ μ' ἐν τάχει Aurat. Casaubon. Stanl. Schütz. Glasg. Blomfield., hic tamen mavult καὶ σύ γ', ἐν τάχει παρὼν, ἄγαν μ' ἀληθόμαντιν et in textu ἄγαν ἀληθ. dedit, sine causa. ἄγαν γ' legitur mox 1227.

1215. παιδίων vulg., quod in παιδείων recte mutarunt Schütz. Glasg. Blomf.

1217. ἐξηπασμένα Farn. Stanl. Blomf. male.

Digitized by Google

ΚΑΣΑΝΔΡΑ.

Ἀγαμέμνονός σέ φημ' ἐπόψεσθαι μόρον.

ΧΟΡΟΣ.

εὔφημον, ὦ τάλαινα, κοίμησον στόμα.

ΚΑΣΑΝΔΡΑ.

ἀλλ' οὔτι Παιὼν τῷδ' ἐπιστατεῖ λόγῳ.

ΧΟΡΟΣ.

οὐκ, εἴπερ ἔσται γ'· ἀλλὰ μὴ γένοιτό πως.

ΚΑΣΑΝΔΡΑ.

σὺ μὲν κατεύχῃ, τοῖς δ' ἀποκτείνειν μέλει.

ΧΟΡΟΣ.

τίνος πρὸς ἀνδρὸς τοῦτ' ἄχος πορσύνεται;

